TEZAUR LITURGIC

12 OCTOMBRIE

# SLUJBA SF.IERARH COSMA, EPISCOPUL MAIUMEI

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 12 ΟΚΤΩΒΡΙΟΣ
# ΚΟΣΜΑΣ ΟΣΙΟΣ ΠΟΙΗΤΗΣ
# ΑΚΟΛΟΥΘΙΑ

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ᾽ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Κοσμᾶ ὁ Τριάδος τῆς σεπτῆς, αἴγλῃ ἐλλαμπόμενος, φωστὴρ τοῦ Πνεύματος πάμφωτε, καὶ ἀμαρύγμασιν, ὕμνων σου παντέρπνων, καταυγάζων σύλλογον, πιστῶν Θεὸν αἰνούντων ἀείποτε, ἡμῶν διάλυσον, τῆς χαμαιζηλίας ζόφωσιν, καὶ τὸ σκότος, παθῶν τὸ ψυχόλεθρον.

Κοσμᾶ τοῦ σεπτοῦ Δαμασκηνοῦ, Ἰωάννου σύνοικε, καὶ ἀσκητοῦ Λαύρας Ὅσιε, Σάββα τοῦ ἔμφρονος, Ἁγιοπολίτης, ὁ ὀνομαζόμενος, καὶ πέλων κληρονόμος θειότατος, τῆς ἄνω πόλεως, Ἐκκλησίας στῦλος πέφηνας, καὶ χειμάῤῥους, χαρίτων πολύῤῥυτος.

Κοσμᾶ μελῳδὲ Μαϊουμᾶ, Ἱεράρχα ἔνθεε, ὁ μυηθεὶς τὰ ἀπόῤῥητα, καὶ εἰς τοῦ Πνεύματος, ὁ εἰσδὺς τὸν γνόφον, ᾄσματα συνέθεσας, μελίῤῥυτα καὶ τὴν καλλιέπειαν, Πάτερ θειότατε, μουσικὴν σὺ διεσάφησας, ὁ πρεσβεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Κοσμᾶ θείου Πνεύματος πυρσέ, ἀστραπαῖς τῶν ὕμνων σου, τῶν ἱερῶν κατεφώτισας, κόσμου τὰ σύμπαντα, ὡς συνδεδεμένος, τῇ πηγῇ μακάριε, φωτὸς τοῦ ἀϊδίου τῷ Κτίσαντι, Χριστῷ φωτόλαμπρος, ὅλος

γέγονας καὶ χάριτος, θείας πάσας ἀκτῖνας ἐξήστραπτες.

*Δόξα. Ἦχος β΄.*

Τὸν θετὸν ἀδελφὸν Δαμασκηνοῦ Ἰωάννου, τὸν αὐτῷ ἁμιλλώμενον τῇ συγγραφῇ ὕμνων, καὶ ἀναβάσει τῆς τῶν ἀρετῶν κλίμακος, Κοσμᾶν τὸν Ἁγιοπολίτην τιμήσωμεν εὐσχημόνως, καὶ αὐτῷ ἐκ μέσης καρδίας εἴπωμεν· ὁ οὐρανοπολίτης γενόμενος, καὶ τοῦ ἀδελφοῦ σου ἰσότιμος τῇ δόξῃ, μὴ παύσῃ σὺν αὐτῷ Χριστὸν ἱλεούμενος, τοῖς σὲ ἐν ὕμνοις τερπνοῖς μακαρίζουσι.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Χαίροις σεπτὲ Κοσμᾶ, λαμπρὲ ᾀσματογράφε, Χριστοῦ τῆς Ἐκκλησίας, οὗ τὴν γραφίδα χάρις, τοῦ Πνεύματος ἐκίνησεν.

Στ.: *Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτης τῆς καρδίας μου σύνεσιν.*

Χαῖρε Μαϊουμᾶ, ὁ θεῖος Ἱεράρχης, Κοσμᾶ πνευματοφόρε, ὁ ἐπὶ σὲ ἑλκύσας, ἀφθόνως Πνεῦμα Ἅγιον.

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Χαῖρε ὁ ἀσκητής, τῆς Λαύρας θείου Σάββα, καὶ ποιητὴς ᾀσμάτων, μελισταγῶν καὶ ὕμνων, Κοσμᾶ πνευματοφόρητε.

*Δόξα. Τριαδικόν.*

Δόξα Σοι ὁ Θεός, ὁ τὸν Κοσμᾶν φωτίσας, συγγράψαι θείους ὕμνους, Πάτερ Υἱὲ καὶ Πνεῦμα, Τριὰς λαμπρὰ καὶ πάνσεπτε.

*Καὶ νῦν. Θεοτοκίον.*

Φώτισον τὰς ὁδούς, ἐζοφωμένων δούλων, τῆς χάριτός Σου Μῆτερ, Θεοῦ τοῦ φωτοδότου, Κυρία Μητροπάρθενε.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τὸ θεόφθογγον στόμα καὶ αὐλὸν τὸν γλυκύλαλον, τὴν πνευματοφόρον κινύραν καὶ τὸ εὔηχον ὄργανον, τιμήσωμεν συμφώνως οἱ πιστοί, Κοσμᾶν τὸν μελουργὸν καὶ ποιητήν, τὸ τῆς χαρίτος δοχεῖον, τὸ τιμαλφὲς καὶ πίστει ἐκβοήσωμεν· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐμπιπλῶντι εὐσεβεῖς, πνεύματι ζέοντι.

*Δόξα. Ἦχος δ’. Ταχὺ προκατάλαβε.*

Οὐράνιον ἅμιλλαν διατυπῶν ἐν σαρκί, ἐπίγειον αἴνεσιν τῷ ἐν ὑψίστοις Θεῷ, πανσόφως συνήρμοσας, σὺ γὰρ ὥσπερ κιθάρα, τῆς εὐσήμου σοφίας, ᾔνεσας ὑψηγόρως, τοῦ Σωτῆρος τὴν δόξαν. Διὸ σὲ Κοσμᾶ θεηγόρε, ὕμνοις γεραίρομεν.

*Καὶ νῦν... Θεοτοκίον*

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον· διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν Στίχους στ' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ Ὁσίου. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ταῖς ἀκτῖσι τοῦ Πνεύματος, ἐλλαμφθεὶς τὴν διάνοιαν,φωτοφόρος γέγονας, Ἀξιάγαστε, καταφαιδρύνων τὰ σύμπαντα, τῷ κάλλει τῶν λόγων σου, καὶ διδάσκων ἀνυμνεῖν, τοῦ Σωτῆρος τὰ θαύματα, ἃ εἰργάσατο, θεϊκῇ δυναστείᾳ, καὶ τὰ πάθη, ἃ ὑπέστη ἑκουσίως, ὑπὲρ ἡμῶν ὡς φιλάνθρωπος.

Ἐκκλησία λαμπρύνθητι, καὶ τὰ τέκνα σου κάλεσον, ὑψηλῷ κηρύγματι, συνευφραίνεσθαι· ἡ γὰρ κιθάρα τοῦ Πνεύματος, ἡ λύρα ἡ ἔνθεος, συγκαλεῖται μυστικῶς, εἰς ἑστίασιν ἅπαντας, τὰ μελλίρρυτα, καὶ θεόφθεγκτα ταύτης τῶν ᾀσμάτων, μελῳδήματα προθεῖσα, Κοσμᾶς ὁ θεῖος καὶ ἔνδοξος.

Σάλπιξ γέγονας Ὅσιε, κελαδῶν τὰ σωτήρια, τοῦ Χριστοῦ παθήματα, καὶ τὰ θαύματα, καὶ τῆς Πανάγνου τὴν κοίμησιν, καὶ πάντας εὐφραίνουσα, ἡδυφθόγγοις σου Κοσμᾶ, καὶ εὐήχοις τοῖς ῥήμασι· διὸ πάντες σε, κατὰ χρέος τιμῶμεν ἀνυμνοῦντες, τὴν πανεύφημον καὶ θείαν, καὶ ἱεράν σου μετάστασιν.

*Ἕτερα. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.*

Ἐν προσευχαῖς καὶ νηστείαις, καὶ ἀγρυπνίαις πολλαῖς, τὰ τῆς σαρκὸς τελείως, ἀπενέκρωσας πάθη, ψυχὴν δὲ ἀπαθείᾳ, μάκαρ Κοσμᾶ, ἐναρέτοις ἐν πράξεσιν, εὐσεβοφρόνως ἐζώωσας καὶ ζωήν, πρὸς ἀγήρω μεταβέβηκας.

Τοῖς θεοφθόγγοις σου λόγοις, τὰς τοῦ Χριστοῦ καὶ Θεοῦ, ἐναρμονίως Μάκαρ, ἑορτὰς συνεγράψω, εὐρύθμοις μελῳδίαις, καὶ τῆς σεπτῆς, καὶ πανάγνου θεόπαιδος, ὡς ἐτησίως γεραίρωνται παρ' ἡμῶν, καὶ κοσμῶνται σοῦ τοῖς ᾄσμασιν.

Ὡς παριστάμενος Μάκαρ, τῷ οὐρανίῳ φωτί, τοὺς ἐπὶ γῆς ὑμνοῦντας, τὴν σεπτὴν καὶ φωσφόρον, καὶ θείαν Ἑορτήν σου φαίδρυνον σαῖς, φωτοβόλοις πρεσβείαις Κοσμᾶ, καὶ τὴν τῶν θλίψεων νύκτα, καὶ τῶν παθῶν, τὴν ὁμίχλην διασκέδασον.

*Δόξα. Ἦχος πλ. β'.*

Δεῦτε πιστοί, τὸν μελῳδὸν Κοσμᾶν εὐφημήσωμεν, ὡς ὀξυγράφον γραμματέως κάλαμον διατυπώσαντα, Δεσποτικοὺς καὶ Θεομητορικοὺς Κανόνας

μελιῤῥύτους, δι’ ὧν εὐφραίνονται εἰς τοὺς αἰῶνας Ὀρθοδόξων οἱ δῆμοι, καὶ αὐτῷ ἐν κατανύξει βοήσωμεν· θεόσοφον στόμα θείας γνώσεως, καὶ γραφὶς θεοκίνητος ἱερῶν ᾀσμάτων, Μαϊουμᾶ Ἐπίσκοπε ἀναδέδειξαι, ὁ πρεσβεύων Χριστῷ ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα (Κεφ. ζ’, 29-36)*

Τέκνον, ἐν ὅλῃ ψυχῇ σου εὐλαβοῦ τὸν Κύριον καὶ τοὺς ἱερεῖς αὐτοῦ θαύμαζε. ἐν ὅλῃ δυνάμει ἀγάπησον τὸν ποιήσαντά σε καὶ τοὺς λειτουργοὺς αὐτοῦ μὴ ἐγκαταλίπῃς. φοβοῦ τὸν Κύριον καὶ δόξασον ἱερέα καὶ δῷς τὴν μερίδα αὐτῷ, καθὼς ἐντέταλταί σοι, ἀπαρχὴν καὶ περὶ πλημμελείας καὶ δόσιν βραχιόνων καὶ θυσίαν ἁγιασμοῦ καὶ ἀπαρχὴν ἁγίων. Καὶ πτωχῷ

ἔκτεινον τὴν χεῖρά σου, ἵνα τελειωθῇ ἡ εὐλογία σου. χάρις δόματος ἔναντι παντὸς ζῶντος, καὶ ἐπὶ νεκρῷ μὴ ἀποκωλύσῃς χάριν. μὴ ὑστέρει ἀπὸ κλαιόντων καὶ μετὰ πενθούντων πένθησον. μὴ ὄκνει ἐπισκέπτεσθαι ἄρρωστον, ἐκ γὰρ τῶν τοιούτων ἀγαπηθήσῃ. ἐν πᾶσι τοῖς λόγοις σου μιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγ (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Δεῦτε πιστοὶ τὸν κατακοσμήσαντα τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, κάλλει τῶν ὕμνων καὶ λαμπρότητι ᾀσμάστων, δι᾽ ὧν τὰς καρδίας τῶν εὐσεβῶν κατευφραίνει, ἐφυμνίοις καταστέψωμεν καὶ οὕτως εἴπωμεν· οἶκε τοῦ παντουργοῦ Πνεύματος, καὶ σάλπιγξ θεόπνευστε τῆς τοῦ Θεοῦ σοφίας καὶ γνώσεως, ὡς ἔχων παῤῥησίαν πρὸς Κύριον, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἦχος β΄.*

Ἔρωτι τρωθεὶς θείῳ σὺν τῷ θερῷ ἀδελφῷ σου Ἰωάννῃ, Δαμασκὸν κατέλιπες καὶ ἀγγελικὴν ὑπῆλθες

πολιτείαν, ἐν τῇ Λαύρᾳ τοῦ Ὁσίου Σάββα Κοσμᾶ πανιερώτατε· ὡς φοῖνιξ γὰρ ὑψίκομος ἀρετῆς καὶ σοφίας, καρποὺς ἐξήνεγκας γλυκυτάτους ἀπαθείας καὶ νήψεως, δι' ὧν ἔθρεψας τὴν λαχοῦσάν σοι τοῦ Μαϊουμᾶ ποίμνην τὴν ἔλλογον, καὶ νῦν τῶν σῶν ὕμνων τῷ πλούτῳ, εὐφραίνεις πιστῶν τὰς διανοίας καὶ ἡδύνεις ἀκοὰς εὐσεβούντων, ἐν ᾠδαῖς πνευματικαῖς ψαλλόντων· Κύριε, δόξα Σοι.

*Ἦχος γ΄.*

Ὡς ῥεῖθρον διειδὲς τοῦ Παναγίου Πνεύματος, ἐδρόσισας πιστῶν τὰς καρδίας νάμασι σῶν ποιημάτων, Κοσμᾶ μελῳδὲ ἱερώτατε· ὅθεν ὡς ἐνδιαίτημα χάριτος σὲ καθ' ἑκάστην μεγαλύνοντες, καὶ ὡς λύραν θεόφθογγον τῶν τοῦ Θεοῦ μεγαλείων γεραίροντες, τὰς ἀδιαλείπτους σου εὐχὰς ἐξαιτούμεθα, πρὸς ἀρετῆς ὁλοκλήρωσιν καὶ θέωσιν.

*Δόξα. Ἦχος δ΄.*

Χαίρει ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἣν ἐφαίδρυνας ἐνθεαστικώτατα ὕμνοις σου θεοπνεύστοις, τῇ σῇ σεβασμίᾳ μνήμῃ Κοσμᾶ παναοίδιμε, αὐτῆς οὖν καὶ ἡμεῖς ὡς μέλη εὐπειθέστατα ἀγαλλόμενοι, τοὺς καμάτους σου πρὸς θέωσιν μεγαλύνομεν, καὶ Χριστὸν δοξάζομεν τὸν παρέχοντα ἡμῖν εὐχαῖς σου, τὸ μέγα καὶ πλούσιον ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον*

Νεῦσον παρακλήσει σῶν οἰκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ

βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι, σπεῦσον εἰς ἱκεσίαν, τῶν σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, ὁ ἱερὸς ὑμνῳδός, ὁ ποιητὴς τῆς Ἐκκλησίας ὁ πάνσεπτος, τὸ στόμα τῆς εὐσεβείας, ἡ ἅρπα ἡ μελουργός, τῆς Θεοῦ σοφίας, καὶ χρηστότητος, ἡ γλῶσσα τοῦ Πνεύματος, τοῦ Ἁγίου ἡ πάνσεπτος, τῆς οὐρανίου, ἐπιπνοίας τὸ ὄργανον, τὸ ἡδύφθογγον, τῶν δογμάτων ψαλτήριον, Πάτερ πανιερώτατε, Κοσμᾶ ἐφαλτήριον, καλῶν ἀγώνων καὶ λύχνε, φωτολαμπὲς ἀγαθότητος, Χριστὸν ἐκδυσώπει, παρασχεῖν τοῖς σὲ τιμῶσι, τὸ μέγα ἔλεος.

Στ.: *Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτης τῆς καρδίας μου σύνεσιν.*

Χαίροις, ὁ Ἱεράρχης Χριστοῦ, Μαϊουμᾶ ὁ ἀρχιθύτης ὁ Ὅσιος, τῆς Λαύρας Ἁγίου Σάββα, ὁ ἀσκητὴς ὁ σεπτός, ταπεινοφροσύνης, ἐγκαλλώπισμα, συνέσεως μάργαρον, προσευχῆς ἐργαστήριον, νηστείας βάθρον, ἀπαθείας κειμήλιον, καὶ ἀπαύγασμα, ἱερῶν ἀναβάσεων· ὅθεεν τὴν θείαν μνήμην σου, Κοσμᾶ ἐνθεώτατε, ἐπιτελοῦντες ἐν ὕμνοις, μελισταγέσιν καὶ ᾄσμασι, τὰς σὰς ἱκεσίας, ἐκδεχόμεθα πρὸς Κτίστην, τὸν πολυεύσπλαγχνον.

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Μνήμην, ἐπιτελοῦντες Κοσμᾶ, πνευματοφόρε τὴν σεπτήν σου καὶ πάμφωτον, οἱ δῆμοι τῶν Χριστωνύμων, σὴν ἀκραιφνῆ ἀγωγήν, ἐγκωμίων ῥόδοις, καταστέφομεν, καὶ πόθῳ βοῶμέν σοι· ὑμνογράφε θεόπνευστε, τῆς Ἐκκλησίας, ἀδιάσειστον στήριγμα, καὶ θειότατε, ὑποφῆτα τῆς χάριτος, μέμνησο τῶν τιμώντων σε, καὶ πίστει ὑμνούντων σου, τὴν πανσεβάσμιον μνήμην, μελισταγέσιν ἐν ᾄσμασι, σοφὲ Ἱεράρχα, καὶ τερπνὲ ᾀσματογράφε, Χριστοῦ τῆς πίστεως.

*Δόξα. Ἦχος πλ. δ'*

Δαυϊτικοῖς ᾄσμασι, τὸν πνευματικόν ᾀσματογράφον, εὐφημήσωμεν λέγοντες· Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου Ὅσιε Πάτερ, καὶ ἀνεδείχθη ἡ γλῶσσά σου, κάλαμος γραμματέως ὀξυγράφου, καλλιγραφοῦσα ἡμῖν μέλη τὰ σωτήρια, δι' ὧν τὴν κατὰ Χριστὸν οἰκονομίαν, καὶ τῆς Ἁγίας Τριάδος τὸ μέγα μυστήριον, ᾀσματικῶς δοξολογεῖν διδασκόμεθα, αἰτούμενοι ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τὸ θεόφθογγον στόμα καὶ αὐλὸν τὸν γλυκύλαλον, τὴν πνευματοφόρον κινύραν καὶ τὸ εὔηχον ὄργανον, τιμήσωμεν συμφώνως οἱ πιστοί, Κοσμᾶν τὸν μελουργὸν καὶ ποιητήν, τὸ τῆς χαρίτος δοχεῖον, τὸ τιμαλφὲς καὶ πίστει ἐκβοήσωμεν· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐμπιπλῶντι εὐσεβεῖς, πνεύματι ζέοντι.

*Δόξα. Ἦχος δ᾽. Ταχὺ προκατάλαβε.*

Οὐράνιον ἅμιλλαν διατυπῶν ἐν σαρκί, ἐπίγειον αἴνεσιν τῷ ἐν ὑψίστοις Θεῷ, πανσόφως συνήρμοσας, σὺ γὰρ ὥσπερ κιθάρα, τῆς εὐσήμου σοφίας, ἤνεσας ὑψηγόρως, τοῦ Σωτῆρος τὴν δόξαν. Διὸ σὲ Κοσμᾶ θεηγόρε, ὕμνοις γεραίρομεν.

*Καὶ νῦν... Θεοτοκίον*

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον· διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπόλυσις.*

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α’ Στιχολογίαν,*
*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Τῆς χάριτος φωτί, αὐγασθεὶς θεοφόρε, διάνοιαν Κοσμᾶ, ἄστρον ὤφθης φωσφόρον, Χριστοῦ θείας πίστεως, καὶ φωστὴρ θεαυγέστατος, ἀναδέειξαι, φωτίζων ἅπαντα κόσμον, σοῖς ποιήμασι, καὶ ἱεραῖς ὑμνῳδίαις, θεόσοφε Ὅσιε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Πιστῶν καταφυγή, ἐν δεινοῖς καὶ κινδύνοις, Παρθένε ἀγαθή, προστασία ἑτοίμη, τῶν ἐν περιστάσεσι, καὶ ἀνάγκαις προσφύγων Σου, διασκέδασον, ἡμῶν παθῶν σκοτομήνην, ἀμαρύγμασι, φιλανθρωπίας Σου Μῆτερ, σεπτὴ ὑμνηπόλων Σου.

*Μετὰ τὴν β’ Στιχολογίαν,*
*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἡμῖν ἐξανέτειλεν ὥσπερ ἀστὴρ ὀρθρινός, ἡ πάνσεπτος μνήμη σου πνευματοφόρε Κοσμᾶ, φωτίζουσα ἅπαντας, ὕμνων μελῳδικῶν σου, ἀστραπαῖς καὶ ᾀσμάτων, μελισταγῶν ἀκτῖσιν, ἱερὲ ὑμνογράφε, ποιμὴν Μαϊουμᾶ ἐκλεκτέ, καὶ θεοπρόβλητε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Θεὸν σωματώσασα ὑπερφυῶς ἀγαθή, ἐθεώσας φύραμα βροτῶν ἁγνὴ Μαριάμ, τὸ νῦν μεγαλῦνόν Σε, κλεῖδα ὡς Παραδείσου, δι’ ἡμᾶς κεκλεισμένου,

ἄχραντε Θεοτόκε, σωτηρίας αἰτία, πιστῶν δοξολογούντων ἀεί, Τόκον τὸν θεῖόν Σου.

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Ἐν ταπεινότητι, καὶ ὁσιότητι, βίον ἰσάγγελον, ὑπῆλθες πάνσοφε, Ἀρχιερεῦ Μαϊουμᾶ, ἐν Λαύρᾳ Ὁσίου Σάββα, θεῖον ἐνδιαίτημα, καὶ σεπτὸν θείου Πνεύματος, ὁ συνθέσας ᾄσματα ἱερὰ καὶ μελίῤῥυτα, καὶ πάντας διεγείρας κραυγάζειν· χαῖρε πνευματοφόρε Πάτερ.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὴν σκοτισθεῖσάν μου, ψυχὴν καταύγασον, φωτὶ τῆς χάριτος, τοῦ θείου Τόκου Σου, ἁγνὴ Παρθένε Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως, καὶ πόθῳ ἀσιγήτως βοῶ Σοι· χαῖρε ἡ Κεχαριτωμένη.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτης τῆς καρδίας μου σύνεσιν.*

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Εὐαγγέλιον, Ἱεραρχικόν.

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β'. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Τὸν κτησάμενον τὴν θύραθεν παιδείαν, καὶ γεγονότα ἐραστὴν τῆς οὐρανίου γνώσεως, Κοσμᾶν τὸν θετὸν αὐτάδελφον, καὶ ὁμόζηλον τοῦ Δαμασκηνοῦ Ἰωάννου, μελῳδικῶς ἀνυμνήσωμεν κράζοντες· ὁ βίου λαμπρότητι καὶ ᾀσμάτων φαιδρότητι, καταγλαΐσας Χριστοῦ τὴν Ἐκκλησίαν, ἀδιαλείπτως πρέσβευε ὑπὲρ τῶν τιμώντων, τὴν λαμπρὰν καὶ ἀεισέβαστον μνήμην σου.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τοῦ Ὁσίου.

*Ὠδὴ α'. Ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον.*

Ὡς θεῖος,ὡς φωτοφόρος Ὅσιε, πᾶσιν ἐξέλαμψας, φωταγωγίαις Μάκαρ τῶν λαμπρῶν, καὶ πανσόφων ῥημάτων σου· ὑφ' ὧν καταφωτίζεσθαι, πάντας εὐχαῖς σου Κοσμᾶ αἴτησαι.

Τριάδος τῆς ὑπερθέου γέγονας, σάλπιγξ θεόφθογγος, ἀναφωνοῦσα πᾶσι τὰ σεπτά, καὶ σωτήρια δόγματα, καὶ τὰς ψυχὰς εὐφραίνουσα, τῶν ὀρθοδόξων Παναοίδιμε.

Οὐδόλως, τοῖς σοῖς βλεφάροις δέδωκας, ὕπνον μακάριε, ἕως οὗ ὄντως ἔφθασας σαφῶς, ὀρεκτῶν τὸ ἀκρότατον, παρ᾿ οὗ τὴν χάριν εἴληφας, τῆς ἀληθοῦς Πάτερ νοήσεως.

*Θεοτοκίον*

Παρθένος, καὶ μετὰ τόκον ἔμεινας· αὐτὸν γὰρ τέτοκας, τὸν Ποιητὴν τῶν ὅλων καὶ Θεόν, ἀσυνήθως καὶ ξένως ἡμῖν, ἐπιφανέντα σώματι, Θεογεννῆτορ Μητροπάρθενε.

*ᾨδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.*

Ἐπ' ὤμων ἄρας Σοφέ, τὸν τοῦ Κυρίου σου σταυρὸν ἔκραζες· Κόσμῳ κἀγὼ ἐσταύρωμαι, σάρκα καθηλώσας τῷ φόβῳ σου.

Ὡς χείμαρρος τῆς τρυφῆς, πᾶσι προχέεις τὰ σεπτὰ νάματα, ἄρδων ἀεὶ Ὅσιε, φρένας καὶ ψυχὰς τῶν ὑμνούντων σε.

Ἡ χάρις ἡ τοῦ Θεοῦ, ἐπισκιάσασα ἐν σοὶ Πάνσοφε, ἄλλον ἡμῖν ἔδειξε, θεῖον Χρυσορρόαν τοῖς φθέγμασι.

*Θεοτοκίον*

Κυρίως καὶ ἀληθῶς, σὲ Θεοτόκον οἱ πιστοὶ σέβομεν· σὺ γὰρ Θεὸν τέτοκας, σάρκα γεγονότα Πανάμωμε.

*Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.*

Ἡ λύρα τῆς σεπτῆς, καὶ Ἁγίας Τριάδος, Κοσμᾶς ὁ ἱερός, μελῳδῶν ἰδοὺ ἧκε, τὸ μέλος τὸ Τρισάγιον· Σὺν αὐτῷ οὖν βοήσωμεν· Ὁ Πατὴρ Υἱός, καὶ θεῖον Πνεῦμα τόν κόσμον, σοῦ εἰρήνευσον, καὶ τὸν Σατὰν ὑπὸ πόδας, ἡμῶν ταχὺ σύντριψον.

*Δόξα. Καὶ νῦν... Θεοτοκίον*

Φωτί σου ἀγαθή, τὴν ἐν σκότει ψυχήν μου, καταύγασον Ἁγνή, καὶ τὴν πώρωσιν λῦσον, καὶ δίδαξον πράττειν με, τοῦ Υἱοῦ σου τὸ θέλημα, ὅπως ἄφεσιν, τὴν τῶν πολλῶν μου πταισμάτων, εὕρω Πάναγνε, καὶ τοῦ πυρὸς τοῦ ἀσβέστου, ῥυσθῶ ταῖς πρεσβείαις σου.

*Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.*

Ὀξυγράφου ὡς κάλαμος σοῦ ἡ γλῶσσα, παναληθῶς γεγένηται, ἄριστα Παμμάκαρ, γράψασα ὡς ἐν πίνακι, Χριστοῦ τὰ σεβάσμια, καὶ σωτηριώδη παθήματα.

Ἀνυψούμενος ὡς φοῖνιξ ταῖς θεωρίαις, τῶν ἀρετῶν ὑψίκομον, δένδρον καθωράθης, γλυκασμὸν σωτήριον, παρέχων τοῖς μέλπουσι· Δόξα τῇ δυνάμει σου Κύριε.

Ὑψηγορίᾳ τῶν λόγων σου θεοφάντορ, τὰς τῆς Πανάγνου ὕμνησας, καὶ πάντων Ἁγίων ἑορτὰς λαμπρότατα, κραυγάζων γηθόμενος· Δόξα τῇ δυνάμει σου Κύριε.

*Θεοτοκίον*

Ὁ κατὰ φύσιν ἐλεύθερος τὴν ἰδίαν, δούλου μορφὴν ἐπτώχευσε, χρηστότητος πλούτῳ Μήτηρ ἀειπάρθενε, ἐκ σοῦ καθ' ὑπόστασιν, ὅλον προσλαβὼν τὸ ἡμέτερον.

*Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.*

Σὺ ὥσπερ παμφαής, ἑωσφόρος ἀνέτειλας· σὺ ῥήμασι καταυγάζεις, τῶν πιστῶν τὰς καρδίας, βολίσι τῶν ῥημάτων σου.

Σὺ ὥσπερ ἀριστεύς, τῇ σφενδόνῃ χρησάμενος, τῶν λόγων σου θεομάκαρ, τὰ τῶν αἱρετιζόντων, κατέβαλες φρυάγματα.

Τὶς ὄντως ἐξειπεῖν, τοὺς σοὺς πόνους δυνήσεται, ἀγῶνάς τε καὶ ἱδρῶτας, ἑκουσίως οὓς ἔτλης, σαρκὸς ἔξω γενόμενος;

*Θεοτοκίον*

Νοῦς οὐκ ἀγγελικός, οὐκ ἀνθρώπινος δύναται, τὸ ἄφραστον ἑρμηνεῦσαι, καί παράδοξον θαῦμα, τοῦ τόκου σου Πανάχραντε.

*ᾨδὴ ϛ΄. Ἐβόησε προτυπῶν.*

Σὺ τὸν Ἄβελ, παρεζήλωσας φέρων τὰς ἀπαρχάς, τῶν σῶν λόγων, ὡς θρεμμάτων θυσίας Κοσμᾶ προφανῶς, προτιθεὶς εἰς βρῶσιν, τῶν ᾀσμάτων τὰ μέλη τὰ κάλλιστα.

Μαρτυρίᾳ, συνειδήσεως ἔτλης τὸν βίον σου, θυσιάζων, Ἰσαὰκ ὥς περ ἄλλον τὸ πρόθυμον, Ἀβραὰμ ἐνθέως ἀληθῶς μιμησάμενος Πάνσοφε.

Ἀναβάσεις, ψυχοσώστους ὑπέθου ὡς κλίμακα, Πατριάρχης, ἣν ἑώρα τὸ πάλαι Κοσμᾶ τηλαυγῶς, ἀνελκύων πάντας, ἡδυφθόγγοις βαθμίσι σου εὔθετα.

*Θεοτοκίον*

Μὴ ἐλλίπῃς, ἱλεοῦσθαι Παρθένε τῶν δούλων σου, τὸν Υἱόν σου, τὰς οὐλὰς ἐξαλείφειν πταισμάτων ἡμῶν, τῶν ὀρθὰ φρονούντων, Θεοτόκον σε Κόρη Πανύμνητε.

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.*

Ἀσματογράφον Ἐκκλησίας τὸν θεόπνευστον, ὡς θείου Πνεύματος ψαλτήριον ἁρμόνιον, ἀκοὰς τὸν καθηδύνοντα εὐσεβούντων, ποιητὴν οὐρανοβάμονα τιμήσωμεν, ἱερὸν Κοσμᾶν Ὁσίων ἐγκαλλώπισμα, πόθῳ κράζοντες· Χαίροις σάλπιγξ τῆς χάριτος.

*Ὁ Οἶκος.*

Ἄγγελος καθωράθης, θεωρὸς ἀποῤῥήτων, Κοσμᾶ καὶ ὑμνῳδὸς μυστηρίων, σωτηρίας τοῦ γένους βροτῶν, Ἁγιοπολῖτα θαυμαστὲ σκήνωμα, τοῦ Παρακλήτου Πνεύματος· διό σοι ἐν χαρᾷ βοῶμεν·

Χαῖρε, ἡ σάλπιγξ τῆς εὐσεβείας·
χαῖρε, ὁ τέττιξ Θεοῦ σοφίας.
Χαῖρε, Παρακλήτου ψαλτήριον εὔηχον·
χαῖρε, τοῦ Ὑψίστου Θεοῦ στόμα ἔμμουσον.
Χαῖρε, λύρα παναρμόνιος, ἐνσαρκώσεως Θεοῦ·
χαῖρε, αὔρα ζωοπάροχος, εὐσεβόφρονος λαοῦ.
Χαῖρε, ὁ ἀνακρούων σωτηρίας τὴν ἅρπαν·
χαῖρε, ὁ μεγαλύνων Θεανθρώπου τὴν δόξαν.
Χαῖρε, οἰκήτωρ Μονῆς Σάββας ἔμφρονος·
χαῖρε, κοσμήτωρ ποιμένων θεόσοφος.
Χαῖρε, ᾀσμάτων γραφὶς μελιῤῥύτων·
χαῖρε, ἀγώνων κρηπὶς θεαρέστων.
Χαίροις, σάλπιγξ τῆς χάριτος.

*Συναξάριον.*

Τῇ ΙΔ' τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου Κοσμᾶ τοῦ Ποιητοῦ, Ἐπισκόπου Μαϊουμᾶ τοῦ Ἁγιοπολίτου.

*Ἀπῆλθε Κοσμᾶς ἔνθα πᾶσα τερπνότης,*
*Μέλη λιπὼν τέρποντα τὴν Ἐκκλησίαν.*
*Ἀηδὼν Ἐκκλησίας, Κοσμᾶ, ᾠδαῖς σου,*
*ὦτα ἡδύνεις καὶ ψυχὰς εὐσεβούντων.*

*ᾨδὴ ζ'. Ὁ διασώσας ἐν πυρί*

Ἐπὶ τὸ ὄρος ἀνελθών, Πάτερ ἀρετῶν ἐκομίσω, νόμον Θεοῦ καὶ ὡς Μωσῆς, πλανηθέντας ἐφείλκυσας εὔθετα, μελῳδῶν Ἀξιάγαστε· ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Λύμην αἱρέσεως δεινήν, ἔστησας φαρμάκῳ τῶν λόγων, τῶν σῶν δογμάτων μελῳδῶν, ἐπινίκιον ὕμνον τῷ Κτίσαντι· Ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητός εἶ.

Πηγὴ θεόβρυτος ἡ σή, Πάτερ ἀναδέδεικται γλῶσσα, φλογιζομέναις ἐκ παθῶν, ταῖς ψυχαῖς, αἱ πιοῦσαι κραυγάζουσιν· Ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητός εἶ.

*Θεοτοκίον*

Ὡς κιβωτὸν σε καὶ σκηνήν, κλίνην τε τοῦ Λόγου ὑμνοῦμεν, κῆπον ἀνθοῦντα τὸν Χριστόν, τὴν τερπνὴν εὐωδίαν, ᾧ ψάλλομεν· Ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

*ᾨδὴ η'. Λυτρωτὰ τοῦ παντός.*

Καθαρθεὶς τὴν ψυχὴν παναοίδιμε, ἀνεδείχθῃς δοχεῖον τοῦ Πνεύματος· καὶ φωτισμοῦ πληρούμενος, κατεφώτισας πάντας, μέλπειν ἀξίως· Εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Τοῖς ἐπαίνοις σε στέφειν μὴ σθένοντες, πρὸ τοὺς σοὺς ἀποβλέποντες Ὅσιε, χάριν αἰτοῦμεν ἄνωθεν, δωρηθῆναι ποθοῦσι νῦν ἐξυμνῆσαι, τὴν σὴν εὔσημον μνήμην Μακάριε.

Νῦν αὐλίζῃ τοῖς ἄνω γηθόμενος, σὺν χοροῖς τῶν Ἁγίων πανόλβιε, ὧν τοὺς λαμπροὺς ἀγῶνάς τε, καὶ τοὺς ἄθλους ἀνύμνεις, πόθῳ κραυγάζων· Εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

*Θεοτοκίον*

Ἱλασμὸν τῶν πταισμάτων μοι δώρησαι, καὶ κακῶν ἀποχὴν Παναμώμητε, ταῖς μητρικαῖς πρεσβείαις σου, Θεοτόκε Παρθένε εὐλογημένη, τῶν πιστῶν ἡ βεβαία ἀντίληψις.

*Ὠδὴ θ'. Εὔα μέν.*

Ἰδοὺ νῦν ἐπέλαμψεν ἡμῖν εὐφρόσυνος, θεῖα μνήμη καὶ πανάγαθος, πάντας εὐφραίνουσα ἀξίως, Κοσμᾶ τοῦ θαυμαστοῦ καὶ θεόφρονος, τοῦ θείου μελῳδοῦ καὶ τρισμάκαρος, ἣν ἐπαξίως εὐφημήσωμεν.

Χάριν ἰαμάτων εἰληφὼς πανόλβιε, ἐν μεθέξει θείου Πνεύματος, λῦσον τὸν ζόφον τῆς ψυχῆς μου, τὰ νέφη τῶν παθῶν ἀποδίωξον, πρὸς τρίβους εὐθυπορεῖν μὲ εὐόδωσον, τὰς οὐρανίους Ἀξιάγαστε.

Νόμοις καθεπόμενοι τοῖς σοῖς Μακάριε, ἐξυμνῆσαι προεθέμεθα, σὴν πρὸς τὰ ἄνω ἐκδημίαν, βεβαίας ἀντιδόσεις ἐλπίζοντες, λαμβάνειν παρὰ σοῦ ἀξιύμνητε, τὸν στεφοδότην ἱκετεύοντος.

*Θεοτοκίον*

Νεύρωσον ἡμῶν τὴν τῆς ψυχῆς ἀσθένειαν, Θεομῆτορ τῇ δυνάμει σου, λῦσον τὸ βάρος Παναγία, τῶν ἐπιτιθεμένων τοῖς δούλοις σου, ἡ κόσμῳ δικαιοσύνης τὸν Ἥλιον, ἀνερμηνεύτως ἀνατείλασα.

Ἐξαποστειλάριον τοῦ Ὁσίου, καὶ Θεοτοκίον, ὁμοῦ. Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ὑμνῳδιῶν ἐν κάλλεσι, τῆς ἡδίστης σου γλώττης, καὶ θεοφθόγγοις ᾄσμασι, τὴν Ἁγνὴν καὶ Παρθένον, ἀνύμνησας Θεοτόκον, ἀληθῶς καὶ κυρίως, μεθ' ἧς Κοσμᾶ θεόληπτε, παρεστὼς τῇ Τριάδι, σοῦ μιμητήν, κατὰ νοῦν καὶ πρᾶξιν καὶ θεωρίαν, κἀμὲ γενέσθαι πρέσβευε, ἱερώτατε Πάτερ.

*Αἶνοι. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.*

Ὁ παμφαέστατος λυχνος, καὶ τηλαυγέστατος, ἡ μελουργὸς κιθάρα, ἡ νευρὰ τῶν εὐσήμων, τοῦ Πνεύματος λογίων πᾶσιν ἡμῖν, τὰς αὐτοῦ παρατίθεται, μελῳδικὰς εὐωχίας καὶ δι' αὐτῶν, κατευφραίνει τοὺς θεόφρονας. *(Δίς)*

Ὁ μουσουργέτης ἡ λύρα, τοῦ θείου Πνεύματος, ἡ ἀηδὼν ὁ τέττιξ, ὁ τῶν θείων ᾀσμάτων, αὐλὸς τῆς Ἐκκλησίας ᾄδει τερπνῶς, ἐκδιδάσκων τὰ πέρατα, ἐν θεοπνεύστοις τοῖς ὕμνοις δοξολογεῖν, τὴν Τριάδα τὴν ὑπέρθεον.

Σὺν ταῖς ἀΰλοις οὐσίαις, ὡς παριστάμενος, τῷ τῶν ἁπάντων Κτίστῃ, καὶ Θεῷ θεῖε Πάτερ, Κοσμᾶ τῶν ἐκτελούντων μνήμην ποιοῦ, τὴν φαιδράν σου πανήγυριν, τοῦ λυτρωθῆναι κινδύνων καὶ πειρασμῶν, καὶ παντοίων περιστάσεων.

*Δόξα. Ἦχος πλ. δ'*

Τὸν θεωρὸν τοῦ ἀθεωρήτου, καὶ λειτουργὸν τοῦ ἐν πόλῳ θυσιαστηρίου, Κοσμᾶν τὸν Ἁγιοπολίτην μελῳδὸν εὐφημήσωμεν, ὡς σάλπιγγα καλλικέλαδον τοῦ Παρακλήτου Πνεύματος, οὕτω λέγοντες· πολύῤῥυτε ποταμὲ τῆς χάριτος, ὁ τοῖς νάμασι σῶν ᾀσμάτων πιαίνων χοϊκῶν τὰς καρδίας, πρὸς ἐκβλάστησιν πόθου ζωῆς τῆς σὺν Χριστῷ αἰωνιζούσης, μὴ παύσῃ Αὐτοῦ δεόμενος, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίροις ὁ ποιήμασι καὶ ᾠδαῖς, καὶ ψαλμοῖς κοσμήσας, Ἐκκλησίαν τὴν τοῦ Χριστοῦ· χαίροις Ἱεράρχα, Μαϊουμᾶ τρισμάκαρ, Κοσμᾶ χοροῦ Ὁσίων, τίμιον κόσμημα.

